# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: gwm-ab

*Χοιρίλος ὁ Ἰασεύς* · Choerilus of Iasus

# On Mortality and Transience

*Ἀπόσπασμα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

unit_1 Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς σὸν θυμὸν ἄεξε, τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις. καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας. κεῖν' ἔχω ὅσς' ἔφαγον καὶ ἐφύβρισα καὶ σὺν ἔρωτι τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται. [para]ἥδε σοφὴ βιότοιο παραίνεσις, οὐδέ ποτ' αὐτῆς λήσεαι. ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org